*μεν ⟨ἐν⟩υπάρχουσαν. ὁ δ᾽ ἀξιῶν τὸ μὴ πεφυκὸς ὀρθότητα
λόγου δέχεσθαι ⟨μηδὲ λόγον δέχεσθαι⟩ πρῶτον μὲν οὐδὲν
διαφέρει τοῦ μήτε πίθηκον αἴσχους φύσει μετέχειν μήτε
χελώνην βραδυτῆτος ἀξιοῦντος, ὅτι μηδὲ κάλλους ἐπι-
δεκτικὰ μηδὲ τάχους ἐστίν· ἔπειτα τὴν διαφορὰν ἐμπο-
δὼν οὖσαν οὐ συνορᾷ· λόγος μὲν γὰρ ἐγγίγνεται φύσει,
σπουδαῖος δὲ λόγος καὶ τέλειος ἐξ ἐπιμελείας καὶ διδα-
σκαλίας· διὸ τοῦ λογικοῦ πᾶσι τοῖς ἐμψύχοις μέτεστιν,
ἣν δὲ ζητοῦσιν ὀρθότητα καὶ σοφίαν οὐδ᾽ ἄνθρωπον
εἰπεῖν κεκτημένον ἔχουσιν. ὡς γὰρ ὄψεώς ἐστι πρὸς ὄψιν*
D *διαφορὰ καὶ πτήσεως πρὸς πτῆσιν* (*οὐ γὰρ ὁμοίως ἱέρα-
κες βλέπουσι καὶ τέττιγες οὐδ᾽ ἀετοὶ πέτονται καὶ πέρ-
δικες*), *οὕτως οὐδὲ παντὶ λογικῷ μέτεστιν ὡσαύτως τῆς
εὑρομένης τὸ ἄκρον εὐστροφίας καὶ ὀξύτητος· ἐπεὶ δείγ-
ματά γε πολλὰ κοινωνίας καὶ ἀνδρείας καὶ τοῦ πανούρ-
γου περὶ τοὺς πορισμοὺς καὶ τὰς οἰκονομίας ὥσπερ αὖ
καὶ τῶν ἐναντίων, ἀδικίας δειλίας ἀβελτερίας, ἔνεστιν
αὐτοῖς. καὶ μαρτυρεῖ τὸ νυνὶ πεποιηκὸς ἐν τοῖς νεανίσκοις
τὴν ἅμιλλαν· ὡς γὰρ οὔσης τινὸς διαφορᾶς, οἱ μὲν τὰ
χερσαῖά φασιν οἱ δὲ τὰ θαλάσσια μᾶλλον προῆχθαι φύσει*
E *πρὸς ἀρετήν· ὃ δὴ καὶ δῆλόν ἐστι, παραβαλλομένων πε-
λαργοῖς ἵππων ποταμίων* (*οἱ μὲν γὰρ τρέφουσι τοὺς
πατέρας οἱ δ᾽ ἀποκτιννύουσιν ἵνα τὰς μητέρας ὀχεύωσι*)
*καὶ περιστεραῖς περδίκων· οἱ μὲν γὰρ ἀφανίζουσι τὰ ᾠὰ*